'ἀλλά σ' ἐς ἠλύσιον πεδίον καὶ πείρατα γαίης
ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς 'Ραδάμανθυς',

ἠλύσιον μὲν πεδίον εἰκότως προσειπὼν τὴν τῆς σελήνης ἐπιφάνειαν ὑφ' ἡλίου καταλαμπομένην, 'ὅτ' ἀέξεται ἁλίου αὐγαῖς' ὥς φησι Τιμόθεος (fr. 13 Diehl), πέρατα δὲ γῆς τὰ ἄκρα τῆς νυκτός, ἣν σκιὰν τῆς γῆς εἶναι λέγουσιν οἱ μαθηματικοί, πολλάκις ἐπιψαύουσαν τῆς σελήνης, ὡς τοῦτο τῆς γῆς πέρας ἐχούσης, οὗ τῇ σκιᾷ μακρότερον οὐκ ἐξικνεῖται.

## *202.

Stobaeus 3. 1. 199 (3 p. 150 H.). *Πυθαγορικά·*

Καὶ μὴν οὐδέν ἐστιν οὕτω τῆς Πυθαγορικῆς φιλοσοφίας ἴδιον, ὡς τὸ συμβολικόν, οἷον ἐν τελετῇ μεμιγμένον φωνῇ καὶ σιωπῇ διδασκαλίας γένος· ὥστε μὴ λέγειν

'ἀείσω ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε βέβηλοι',

ἀλλ' αὐτόθεν ἔχειν φῶς καὶ χαρακτῆρα τοῖς συνήθεσι τὸ φραζόμενον, τυφλὸν δὲ καὶ ἄσημον εἶναι τοῖς ἀπείροις. ὡς γὰρ ὁ ἄναξ ὁ ἐν Δελφοῖς οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σημαίνει κατὰ τὸν Ἡράκλειτον (V. S. B. 93), οὕτω τῶν Πυθαγορικῶν συμβόλων καὶ τὸ φράζεσθαι δοκοῦν κρυπτόμενόν ἐστι καὶ τὸ κρύπτεσθαι νοούμενον.

## *203.

Stobaeus 3. 13. 68 (3 p. 468 H.). *Θεμιστίου Περὶ ψυχῆς.*

Εἰ μὲν οὖν ὀρθῶς ἐπὶ Πλάτωνος εἶπε Διογένης 'τί δαὶ ὄφελος ἡμῖν ἀνδρὸς ὃς πολὺν ἤδη χρόνον φιλοσοφῶν